eul_wid: rrg-cm

*Χρυσοποιὸς Α'* · Alchemist I

# Making of Ash

## *Στάκτης ποίησις*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 ΣΤΑΚΤΗΣ ΠΟΙΗΣΙΣ Τέφρας ξύλων τῶν σῶν μόδια δʹ μερίζονται εἰς δύο γαστέρας τετρυπημένας ἀπ' ἄκρων. Περὶ δὲ τὴν τρύπην ἔσωθεν τὴν λεπτὴν ὑποτίθει χορτάριον ὀλίγον, ἵνα μὴ ἀποφράξῃ τὴν τρύπην ἡ τέφρα. Καὶ ἐν μιᾷ τῶν γαστερῶν ὕδατος γέμισον· καὶ τῆς γαστέρας τὸ ἀπόσταγμα λάβε τὸ γενόμενον ἐν τῇ νυκτὶ πάσῃ, καὶ ἐπίβαλλε εἰς τὴν δευτέραν γαστέραν· καὶ τότε 〈τὸ〉 ἀπ' ἐκείνης στάξαν ἔχε. Καὶ βαλὼν πάλιν ἄλλην τέφραν, ἀποσείρου· καὶ γίνεται ὡς νάρδον χρυσίζον. Ἐπάγαγε ἐπὶ τὴν τετάρτην γαστέρα· καὶ γίνεται δριμὺ καὶ ἰσχυρόν· καὶ αὕτη ἡ μερικὴ στάκτη.

2.373 Τινὲς δὲ τὴν καθολικὴν ἐποίησαν, προσβάλλοντες ἄσβεστον θειώδη καὶ φέκλην, καὶ στυπτηρίαν, καὶ τὰ ἑξῆς. Καὶ μᾶλλον οὕτως εἰργάσαντο αἱ τῶν ὑδάτων θείων (?) αὗται λευκὸν ὕδωρ· εἰς δὲ τοὺς Μ ο Μ ο λύσαντες τῆς ζύθου πολλῆς, καὶ ὀπῶν δενδρικῶν συκαμίνου, καὶ συκῆς καὶ καλπά σου, καὶ βοτανῶν ἀπὸ τιθυμάλου, αἵματος τραγείου καὶ ζύμης τῆς αὐτῶν. Ἐν δὲ τῇ βαφῇ τῶν κρυστάλλων, εὐθέως ἐπιβάλλεται χρωϊζόμενον· ὕστερον γὰρ ἐτήρησε τὸ μέλι καὶ τὸ ἔλαιον καὶ τὸ βάλσαμον. Ἵνα μὴ ἐν τῇ στάκτῃ ὑπὸ τῆς τέφρας ἀναλωθῇ, τινὲς ὄξος ἔβαλλον, ἄλλοι καὶ οὖρον· ἄλλοι ὕδωρ τινὲς ἀποστάξαντες πάντα ἰδίως ἔμιξαν, καὶ κάλλιον ἐποίησαν, ἢ οὔρῳ καὶ ὄξει ποιήσαντες· καὶ τὸ ὅλον ἔφησαν στάκτη ν . Τινὲς τούτῳ τῷ ὕδατι τὰς οἰκείας βοτάνας βαλόντες καὶ ζυμῶσαι καλέσαντες, κρόκον καὶ ἐλύδριον καὶ μηλέας φύλλα καὶ τὰ ὅμοια λειώσαντες ὄξει νίτρῳ. Ἄλλοι καὶ στυπτηρίαν καὶ μύσι ὀπτὸν καὶ κυανὸν καὶ ὕδωρ θεῖον· καὶ ποιήσαντες μάζαν, καὶ μετὰ τὸ συνιδρῶσαι καὶ τὸ ζωμῶσαι, ἐχάλασαν εἰς τὸ ξανθὸν ὕδωρ καὶ ἥψησαν τὸ σύνθεμα, ὕστερον κεράσαντες μέλιτι καὶ βαλσάμῳ καὶ ὄξει· ἐν δὲ τῇ λειώσει οὕτως καὶ ἐν τῷ ὄξει ὀλίγον ζύμης δριμυτέρας καὶ μοσχίου χολήν. Τινὲς καὶ σκόρδα καὶ κρόμμυα ἔβαλον. Ἔνθεν διδάσκει ὅτι τὰ φεύγοντα τοῖς μὴ φεύγουσι μιγέντα βάπτει τὴν ψυχροβαφήν.